# Homerocentones fort. conditore operis et auctore Patricio quodam episcopo

## Ὑπόθεσις τῶν Ὁμηροκέντρων.

Βίβλος Πατρικίοιο θεουδέος ἀρητῆρος, ὃς μέγα ἔργον ἔρεξεν, Ὁμηρείης ἀπὸ βίβλου κυδαλίμων ἐπέων τεύξας ἐρίτιμον ἀοιδήν, πρήξιας ἀγγέλλουσαν ἀνικήτοιο θεοῖο· ὡς μόλεν ἀνθρώπων ἐς ὁμήγυριν, ὡς λάβε μορφὴν ἀνδρομέην καὶ γαστρὸς ἀμεμφέος ἔνδοθι κούρης κρύπτετο τυτθὸς ἐών, ὃν ἀπείριτος οὐ χάδε κύκλος· ἠδ' ὡς παρθενικῆς θεοκύμονος ἔσπασε μαζὸν παρθενίοιο γάλακτος ἀναβλύζοντα ῥέεθρον· ὡς κτάνεν Ἡρώδης ἀταλάφρονας εἰσέτι παῖδας νήπιος, ἀθανάτοιο θεοῦ διζήμενος οἶτον· ὥς μιν Ἰωάννης λοῦσεν ποταμοῖο ῥεέθροις, ὥς τε δυώδεκα φῶτας ἀμύμονας ἔλλαχ' ἑταίρους· ὅσσων τ' ἄρτια πάντα θεὸς τεκτήνατο γυῖα νούσους τ' ἐξελάσας στυγερὰς βλεφάρων τ' ἀλαωτύν· ἠδ' ὅππως ῥείοντας ἀπέσβεσεν αἵματος ὁλκοὺς ἁψαμένης ἑανοῖο πολυκλαύτοιο γυναικός· ἠδ' ὅσσους μοίρῃσιν ὑπ' ἀργαλέῃσι δαμέντας ἤγαγεν ἐς φάος αὖτις ἀπὸ χθονίοιο βερέθρου· ὥς τε πάθους ἁγίου μνημήια κάλλιπεν ἄμμιν, ὥς τε βροτῶν ὑπὸ χερσὶ τάθη κρυεροῖς ἐνὶ δεσμοῖς αὐτὸς ἑκών· οὐ γάρ τις ἐπιχθονίων πολεμίζοι ὑψιμέδοντι θεῷ, ὅτε μὴ αὐτός γε κελεύοι· ὡς θάνεν, ὡς Ἀίδαο σιδήρεα ῥῆξε θύρετρα, κεῖθεν δὲ ψυχὰς θεοπειθέας οὐρανὸν εἴσω ἤγαγεν ἀχράντοισιν ὑπ' ἐννεσίῃσι τοκῆος ἀνστὰς ἐν τριτάτῃ φαεσιμβρότῳ ἠριγενείῃ ἀρχέγονον βλάστημα θεοῦ γενετῆρος ἀνάρχου.

Τούτους μὲν ἐξέθετο Πατρίκιος ἐπίσκοπος· ἡ δὲ ἀπολογία Εὐδοκίας Αὐγούστης τῆς Ἀθηναίας τῆς γυναικὸς Θεοδοσίου Αὐγούστου τοῦ νέου υἱοῦ Ἀρκαδίου βασιλέως αὕτη· Ἧδε μὲν ἱστορίη θεοτερπέος ἐστὶν ἀοιδῆς. Πατρίκιος δ', ὃς τῆνδε σοφῶς ἀνεγράψατο βίβλον, ἔστι μὲν ἀενάοιο διαμπερὲς ἄξιος αἴνου, οὕνεκα δὴ πάμπρωτος ἐμήσατο κύδιμον ἔργον. ἀλλ' ἔμπης οὐ πάγχυ ἐτήτυμα πάντ' ἀγόρευεν· οὐδὲ μὲν ἁρμονίην ἐπέων ἐφύλαξεν ἅπασαν, οὐδὲ μόνων ἐπέων ἐμνήσατο κεῖνος ἀείδων, ὁππόσα χάλκεον ἦτορ ἀμεμφέος εἶπεν Ὁμήρου. ἀλλ' ἐγὼ ἡμιτέλεστον ἀγακλεὲς ὡς ἴδον ἔργον Πατρικίου, σελίδας ἱερὰς μετὰ χεῖρα λαβοῦσα, ὅσσα μὲν ἐν βίβλοισιν ἔπη πέλεν οὐ κατὰ κόσμον, πάντ' ἄμυδις κείνοιο σοφῆς ἐξείρυσα βίβλου· ὅσσα δ' ἐκεῖνος ἔλειπεν, ἐγὼ πάλιν ἐν σελίδεσσι γράψα καὶ ἁρμονίην ἱεροῖς ἐπέεσσιν ἔδωκα. εἰ δέ τις αἰτιόῳτο καὶ ἡμέας ἐς ψόγον ἕλκοι, δοιάδες οὕνεκα πολλαὶ ἀρίζηλον κατὰ βίβλον εἰσὶν Ὁμηρείων τ' ἐπέων πόλλ' οὐ θέμις ἐστίν, ἴστω τοῦθ', ὅτι πάντες ὑποδρηστῆρες ἀνάγκης. εἰ δέ τις ὑμνοπόλοιο σαόφρονα Τατιανοῖο μολπὴν εἰσαΐων σφετέρην τέρψειεν ἀκουήν, δοιάδας οὕνεκα κεῖνος Ὁμηρείων ἀπὸ βίβλων οὔ ποτε συγχεύας σφετέρῃ ἐνεθήκατο δέλτῳ, οὐ ξένον, οὕνεκα κεῖνος Ὁμηρείης ἀπὸ μολπῆς, κεῖνος δ' ἐξ ἐπέων σφετέρων ποίησεν ἀοιδὴν Τρώων τ' Ἀργείων τε κακὴν ἐνέπουσαν ἀϋτήν, ὥς τε πόλιν Πριάμοιο διέπραθον υἷες Ἀχαιῶν, αὐτὴν Τροίαν ἔχουσαν, ἐν ἀργαλέῳ τε κυδοιμῷ μαρναμένους αὐτούς τε θεούς, αὐτούς τε καὶ ἄνδρας, οὕς ποτε χαλκεόφωνος ἀνὴρ ἀΰτησεν Ὅμηρος. Πατρίκιος δ', ὃς τῆνδε σοφὴν ἀνεγράψατο δέλτον, ἀντὶ μὲν Ἀργείων στρατιῆς γένος εἶπεν Ἑβραίων, ἀντὶ δὲ δαιμονίης τε καὶ ἀντιθέοιο φάλαγγος ἀθανάτους ἤεισε καὶ υἱέα καὶ γενετῆρα. ἀλλ' ἔμπης ξυνὸς μὲν ἔφυ πόνος ἀμφοτέροισι, Πατρικίῳ κάμοί, καὶ θηλυτέρῃ περ ἐούσῃ· κεῖνος δ' ἤρατο μοῦνος ἐν ἀνθρώποις μέγα κῦδος, ὃς πάμπρωτος ἐπήξατο κλεινὸν ἕδος γε δόμοιο καλὴν ἐξανάγων φήμην βροτέοιο γενέθλης.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

# 1 Περὶ τῆς τοῦ πατρὸς εὐδοκίας καὶ ἀποστολῆς τοῦ υἱοῦ.

Κέκλυτε, μυρία φῦλα περικτιόνων ἀνθρώπων, ἠμὲν ὅσοι ναίουσι πρὸς ἠῶ τ' ἠέλιόν τε ἠδ' ὅσσοι μετόπισθε ποτὶ ζόφον ἠερόεντα, ὄφρ' εὖ γινώσκοιτ' ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα, τοῦ δή τοι κλέος ἔσται, ὅσον τ' ἐπικίδναται ἠώς. κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης, ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει. Ἠὼς μὲν κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν, οἴκτρ' ὀλοφυρομένη, θαλερὸν κατὰ δάκρυ χέουσα· οὐ γάρ τις γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων, βοῦς δ' ἱερεύεσκον, ὄιας καὶ πίονας αἶγας, πάντες δ' εὐχετόωντο κελαινεφέι Κρονίωνι τοῖς θ' ὑποταρταρίοις, οἳ Τιτῆνες καλέονται, σχέτλιοι, οὔτε δίκας εὖ εἰδότες οὔτε θέμιστας, ἠέρι καὶ νεφέλῃ κεκαλυμμένοι· οὐδέ ποτ' αὐτοὺς εἴα ἵστασθαι, χαλεπὸς δέ τις ὤρορε δαίμων δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ' ἑκατόμβας. ἀλλ' αὐτός τ' ἐσάωσε καὶ ἐφράσατο μέγ' ὄνειαρ, ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει, υἱὸν ἀναστήσας ἀγαπήνορα, λαομέδοντα, μοῦνον, τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσιν, ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα, ὅς οἱ πλησίον ἷζε· μάλιστα δέ μιν φιλέεσκεν ἀμφαγαπαζόμενος ὡσεί θ' ἑὸν υἱὸν ἐόντα. τὸν καὶ φωνήσας ἔπεα πτερόεντα προσηύδα· «ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅττι κεν εἴπω· οὐ γάρ τις νόον ἄλλον ἀμείνονα τοῦδε νοήσει· καὶ δέ σοι αὐτῷ θυμὸς ἐνὶ στήθεσσι φίλοισιν ἤπια δήνεα οἶδε· τὰ γὰρ φρονέεις, ἅ τ' ἐγώ περ· τώ τοι προφρονέως ἐρέω ἔπος, οὐδ' ἐπικεύσω. εἰσοράᾳς, ὅτι δ' αὖτε βροτοὶ ἐπ' ἀπείρονα γαῖαν ἡμέας ὑβρίζοντες ἀτάσθαλα μηχανόωνται, βοῦς ἱερεύοντες, ὄϊας καὶ πίονας αἶγας, οὐδέ τι ἴσασιν θάνατον καὶ κῆρα μέλαιναν. ἀλλὰ καὶ ὣς ἐθέλω καὶ ἐέλδομαι ἤματα πάντα πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε, ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται. ἀλλ' ἴθι νῦν κατὰ λαὸν Ἀχαιῶν, μηδ' ἑτέρωθι, οὐρανόθεν καταβὰς ἐξ αἰθέρος ἀτρυγέτοιο· σοῖς δ' ἀγανοῖς ἐπέεσσιν ἐρήτυε φῶτα ἕκαστον σῇ τ' ἀγανοφροσύνῃ καὶ αἱμυλίοισι λόγοισιν, ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄροιο, ἥτε καὶ ἐσσομένοισι μετ' ἀνθρώποισι πέληται. σοὶ δ' αὐτῷ μελέτω, καὶ ἐμῶν ἐμπάζεο μύθων. οἱ δέ τοι αὐτίκ' ἰόντι κακὰ φράσσονται ὀπίσσω ἱέμενοι κτεῖναι καὶ ἀπὸ κλυτὸν εὖχος ἀμέρσαι. ἀλλὰ σὺ τούς γ' ἐπέεσσι παραιφάμενος πυκινοῖσιν, πάντας κυδαίνων, μηδὲ μεγαλίζεο θυμῷ, ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο θεοῖο· δηθὰ γὰρ αὐτὸς ἐείσῃ ἑκάστου πειρητίζων γνοίης θ', οἵτινές εἰσιν ἐναίσιμοι οἵ τ' ἀθέμιστοι οἵ τε φιλόξεινοι, καί σφι νόος ἐστὶ θεουδής. καί κ' αἰδοιότερος καὶ φίλτερος ἀνδράσιν εἴης, αἴ κε θάνῃς, καὶ πότμον ἀναπλήσεις βιότοιο. ὃς δ' ἂν ἀμύμων αὐτὸς ἔῃ καὶ ἀμύμονα εἰδῇ, αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ, καί οἱ πάντα γένοιτο, ὅσα φρεσὶν ᾗσι μενοινᾷ. ὃς δέ κ' ἀνήνηται καί τε στερεῶς ἀποείπῃ ἡμέας ἀμφοτέρω, μάλα εἰκέλω ἀλλήλοιιν, αἰεὶ τούτῳ ἔπειτα πόνος καὶ κήδε' ἔσονται καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνοι, ἤ μιν ἑλὼν ῥίψω ἐς Τάρταρον ἠερόεντα, τῆσδ' ἀπάτης κοτέων. τὰ μὲν ἔσσεται οὐκ ἀτέλεστα.»

# 2 Περὶ τῆς ὑπακοῆς τοῦ υἱοῦ.

Τὸν δὲ παριστάμενος προσεφώνεε φαίδιμος υἱός· «ὦ πάτερ, ὅστε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσεις, γινώσκω, φρονέω· τάδε δὴ νοέοντι κελεύεις ὥστε πατὴρ ᾧ παιδί, καὶ οὔποτε λήσομαι αὐτῶν· καὶ γὰρ ἐγὼ θεός εἰμι, γένος δέ μοι ἔνθεν, ὅθεν σοί. ἀλλὰ μάλ' εὔκηλος τὰ φράζεο, ὅσσ' ἐθέλῃσθα· οὐ γὰρ ἀπόβλητον ἔπος ἔσσεται, ὅττι κεν εἴπῃς. εἴ πέρ μοί τοι μοῖρα θανεῖν καὶ πότμον ἐπισπεῖν, πάντα μάλ' ἐκτελέω καὶ πείσομαι, ὡς σὺ κελεύεις αὐτὸς σῷ θυμῷ, γνώωσι δὲ πάντες Ἀχαιοί, ὡς ἐμὸς



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

οὔποτε θυμὸς ἐνὶ στήθεσσιν ἄπιστος. βουλοίμην δ' ἂν ἔγωγε, καὶ ἄλγεα πολλὰ μογήσας, πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε· καὶ γὰρ ἐμοὶ νόος ἐστὶν ἐναίσιμος οὐδὲ μεθήμων· βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι ἢ ἀπολέσθαι.» οἱ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισιν ἀλλήλων ἰότητι, χάριν δ' ἄνδρεσσι φέροντες ἀθάνατοι θνητοῖσι κατὰ ζείδωρον ἄρουραν.

## 3 Περὶ τοῦ εὐαγγελισμοῦ.

Καὶ τότ' ἄρ' ἄγγελον ἧκαν, ὃς ἀγγείλειε γυναικὶ βουλήν, ἥ ῥα τότε σφιν ἐφήνδανε μητιόωσι· καρπαλίμως δ' ἤιξεν ἐπὶ χθόνα πουλυβότειραν. οὐρανόθεν καταβὰς ἐξ αἰθέρος ἀτρυγέτοιο ἔρχεται ἀγγέλλων φάος ἠοῦς ἠριγενείης. βῆ δ' ἴμεν ἐς θάλαμον πολυδαίδαλον, ᾧ ἔνι κούρη ἕζετ' ἐνὶ κλισμῷ–ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν–ἀδμήτη, τὴν οὔπω ὑπὸ ζυγὸν ἤγαγεν ἀνήρ. τὴν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ ἀνδρὶ φίλῳ ἔπορον· ὁ δέ μιν πρόφρων ὑπέδεκτο, οὔτ' εὐνῆς πρόφασιν κεχρημένος οὔτε χατίζων ἤ τι ὀϊσάμενος. ἦ καὶ θεὸς ὣς ἐκέλευεν, μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι, ἣ θέμις ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν. ἡ μὲν ἐπ' ἐσχάρῃ ἧστο σὺν ἀμφιπόλοισι γυναιξὶν παρθένος αἰδοίη, ὑπερώιον εἰσαναβᾶσα, ἠλάκατα στρωφῶσ' ἁλιπόρφυρα, θαῦμα ἰδέσθαι· ἀμφίπολος δ' ἄρα οἱ κεδνὴ ἑκάτερθε παρέστη. καὶ τότ' ἄρ' ἄγγελος ἦλθεν, ὃς ἀγγείλειε γυναικί· στῆ δὲ μάλ' ἐγγὺς ἐὼν καί μιν πρὸς μῦθον ἔειπεν· «χαῖρέ μοι, ὦ βασίλεια, διαμπερές, εἰσόκε γῆρας ἀνδράσιν ἠδὲ γυναιξὶν ἐπὶ χθόνα πουλυβότειραν ἔλθῃ καὶ θάνατος, τά τ' ἐπ' ἀνθρώποισι πέλονται· νημερτὲς γάρ τοι μυθήσομαι οὐδ' ἐπικεύσω. ᾐτέομέν γε θεὸν φῆναι τέρας· αὐτὰρ ὅγ' ἡμῖν τῶν ἀνδρῶν, οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης, ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει, ἀνέρι εἰδόμενος αἰζηῷ τε κρατερῷ τε, ἔσθων καὶ πίνων οἷα βροτοὶ ἄνδρες ἔδουσιν, σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλών, οἰκῆι ἐοικώς, βαλλόμενος καὶ ἐνισσόμενος τετληότι θυμῷ.» ὣς φάτο· τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν, ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσι· καί ῥ' ἀκέουσα καθῆστο ἐπιγνάμψασα φίλον κῆρ. ὀψὲ δὲ δή μιν ἔπεσσιν ἀμειβομένη προσέειπεν· «ὦ φίλ', ἐπεί θήν μοι καὶ ἀμείψασθαι θέμις ἐστί, τίπτέ με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δέ, ὥς μευ ἀεὶ μέμνηται ἐνηέος, οὐδέ ἑ λήθω. ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ, ὅππως κεν ἐθέλῃσιν· ὃ γὰρ κάρτιστος ἁπάντων. ἀλλ' ἐγὼ οὐχ αὔτως μυθήσομαι, ἀλλὰ σὺν ὅρκῳ, μή ποτε τῆς εὐνῆς ἐπιβήμεναι ἠδὲ μιγῆναι, ἣ θέμις ἀνθρώπων πέλει, ἀνδρῶν ἠδὲ γυναικῶν.» τὴν δ' ἀπαμειβόμενος προσέφη μεγαληγόρος ἐσθλός· «χαῖρε, γύναι χαρίεσσα· περιπλομένων δ' ἐνιαυτῶν ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει· τοῦ δή τοι κλέος ἔσται, ὅσον τ' ἐπικίδναται ἠώς, πάντας ἐπ' ἀνθρώπους, καί οἱ δόσις ἔσσεται ἐσθλή. ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν· σίγα καὶ κατὰ σὸν νόον ἴσχανε, μηδ' ἐρέεινε.» ὣς φάτο· τῇ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν, ἀλλ' οὔ πως ἔτι εἶχεν ὑποτρέσαι οὐδ' ἀναδῦναι. αὐτὰρ ἐπεὶ δὴ πᾶσαν ἐφημοσύνην ἀπέειπεν, καρπαλίμως ἤιξεν ἀπὸ χθονὸς εὐρυοδείης κήρυξ πεισήνωρ, πεπνυμένα μήδεα εἰδώς· ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγυρέεσσι δ' ἐπῆλθεν. ἣ δ' ἄρα ὣς εἰποῦσ' ἀπέβη πρὸς δώματα καλά.

## 4 Περὶ τοῦ τόκου καὶ τοῦ ἀστέρος καὶ τῶν ποιμένων.

Αὐτὰρ ἐπειδὴ τόνγε μογοστόκος Εἰλείθυια, τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο, ἐξάγαγε προφόωσδε, καὶ ἠελίου ἴδεν αὐγὰς ἂψ περιτελλομένου ἔτεος, καὶ ἐπήλυθον ὧραι, αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθών· πάντες



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ὁμηγερέες ἠμὲν νέοι ἠδὲ γέροντες θάμβησαν, πᾶσιν δὲ παραὶ ποσὶ κάππεσε θυμός, εὖτ' ἀστὴρ ὑπερέσχε φαάντατος, ὅστε μάλιστα λαμπρὸν παμφαίνῃσι, λελουμένος Ὠκεανοῖο, δεικνὺς σῆμα βροτοῖσιν· ἀρίζηλοι δέ οἱ αὐγαί· ὅν ῥά τε ποιμὴν ἀγρῷ ἐπ' εἰροπόκοις ὀΐεσσι θάμβησεν κατὰ θυμόν· ὀίσατο γὰρ θεὸν εἶναι. Ὅτι ὁ τεχθεὶς ἐκ παρθένου αὐτὸς πάντων δημιουργός. «δῶρα δὲ δεῦρο μολών μοι ὑπέσχετο καὶ κατένευσεν· ψεῦδος δ' οὐκ ἐρέοι· μάλα γὰρ πεπνυμένος ἐστίν· οὐ γάρ πω ἰδόμην οὐδ' ἔκλυον αὐδήσαντος ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην πλὴν ἑνός, ὅστε μοι ὕπνον ἀπεχθαίρει καὶ ἐδωδήν, ὃν περὶ κῆρι φίλησε πατὴρ ἀνδρῶν τε θεῶν τε μοῦνον τηλύγετον πολλοῖσιν ἐπὶ κτεάτεσσιν, υἱὸν ἐπεί μοι δῶκε γενέσθαί τε τραφέμεν τε, μήτηρ θ', ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα, ὄρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι ἠδὲ βροτοῖσι, πρωτότοκος θ', ὅσπερ γένεσις πάντεσσι τέτυκται, εὖ εἰδὼς σοφίης ὑποθημοσύνῃσι θεοῖο.» ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν, ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται, ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν, ἰχθῦς ὄρνιθάς τε, φίλον θ' ὅ τι χεῖρας ἵκοιτο, εἰναλίους, τοῖσίν τε θαλάσσια ἔργα μέμηλε, κήτε', ἃ μυρία βόσκει ἀγάστονος ἀμφιτρίτη, ἵππους θ' ἡμιόνους τε βοῶν τ' ἴφθιμα κάρηνα ἄρκτους τ' ἀγροτέρους τε σύας χαροπούς τε λέοντας. τοῖσι δ' ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην λωτόν θ' ἑρσήεντα ἰδὲ κρόκον ἠδ' ὑάκινθον. γίνετο δ' ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον κλήθρη τ' αἴγειρός τε καὶ εὐώδης κυπάρισσος, ὄγχναι καὶ ῥοιαὶ καὶ μηλέαι ἀγλαόκαρποι· λοῖσθος ἀνὴρ ὤριστος· ἔικτο δὲ θέσκελον αὐτῷ εἶδός τε μέγεθός τε ἰδὲ φρένας ἔνδον ἐίσας. πὰρ δὲ γυνὴ δέσποινα λέχος πόρσυνε καὶ εὐνὴν κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη. ἀλλ' οὔ σφιν τότε τοῖσιν ἐπήρκεσε λυγρὸν ὄλεθρον· αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο.

## 5 Περὶ τοῦ παραδείσου καὶ τοῦ ὄφεως καὶ τῆς ἀπάτης.

Ἔνθ' ἐφάνη μέγα σῆμα, δράκων ἐπὶ νῶτα δαφοινὸς δεινός τ' ἀργαλέος τε καὶ ἄγριος οὐδὲ μαχητός, ὃς κακὰ πόλλ' ἔρδεσκεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι, παρφασίῃ τ' ἔκλεψε νόον πυκινὰ φρονεόντων. κούρῃ δὲ ξύμβλητο πρὸ ἄστεος ὑδρευούσῃ· αὐτίκα μειλίχιον καὶ κερδαλέον φάτο μῦθον φωνῇ τε βροτέῃ κατερήτυε φώνησέν τε· «ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅττι κεν εἴπω. σοὶ δ' ἐγὼ οὐχ ἅλιος σκοπὸς ἔσσομαι οὐδ' ἀπὸ δόξης. ἐνθάδε δένδρεα καλὰ πεφύκει τηλεθόωντα, συκαῖ τε γλυκεραὶ καὶ ἐλαῖαι τηλεθόωσαι ἄλλά τε πόλλ' ἐπὶ τῇσι. σὺ δ' ἵλαον ἔνθεο θυμόν· τάων οὔ ποτε καρπὸς ἀπόλλυται οὐδ' ἀπολήγει. τόν γ' εἴ πως σὺ δύναιο λοχησαμένη λελαβέσθαι πρῶτον, ἔπειτα δέ κ' αὐτὴ ὀνήσεαι, αἴ κε φάγῃσθα, θήσεις τ' ἀθάνατον καὶ ἀγήραον ἤματα πάντα ἄνδρα τε καὶ οἶκον· καὶ ὁμοφροσύνην ὀπάσειεν.» ὣς εἰπὼν παρέπεισεν, ἐπεὶ διεπέφραδε πάντα· οἶσθα γάρ, οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός. αὐτὰρ ἐπειδὴ δεῖξ', ὅθι δένδρεα μακρὰ πεφύκει, αὐτίκ' ἔπειτ' ἐπέεσσι πόσιν ἐρέεινεν ἕκαστα λισσομένη δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στεναχίζων, ἀλλ' ἔτι που μέμνητο ἐφετμῶν, ἃς ἐπέτελλεν ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει. ἡ δ' αἰεὶ μαλακοῖσι καὶ αἱμυλίοισι λόγοισι πολλῇσίν τ' ἄτῃσι παρὲκ νόον ἤγαγεν ἀνδρὸς μεμνῆσθαι πόσιος καὶ ἐδητύος ὅττι τάχιστα, κουριδίῳ τέξασα πόσει φόνον ἠδέ οἱ αὐτῇ· πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄιδι προΐαψεν, ὡς οὐκ αἰνότερον καὶ κύντερον ἄλλο γυναικός. ἑξῆμαρ μόνον ὣς πόνεον νύκτας τε καὶ ἦμαρ· ἀλλ' ὅτε δ' ἕβδομον ἦμαρ ἐυπλόκαμος τέλεσ' Ἠώς, τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα, ἔνθ' αὖτ' ἄλλ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμὸν ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει· ἀνέρι εἰσάμενος αἰζηῷ τε κρατερῷ τε, ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

ἐφορᾶσθαι ἤ τιν' ὀισάμενος ἢ καὶ θεὸς ὣς ἐκέλευσεν. αὐτὰρ ὅγ' αὖτις ἰὼν πάις ὣς ὑπὸ μητέρα δύσκεν· ἄλλῳ δ' αὐτὸν φωτὶ κατακρύπτων ἤισκεν παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασι· νειαίρῃ δ' ἐν γαστρὶ πάγη, σχεδὸν Εἰλειθυίης. ἀλλ' ὅτε δὴ μῆνές τε καὶ ἡμέραι ἐξετελεῦντο, λῦσε δὲ παρθενίην ζώνην, κατὰ δ' ὕπνον ἔχευεν. ἡ δ' ὑποκυσαμένη κρατερόφρονα γείνατο παῖδα παρθένος αἰδοίη ὑπερώιον εἰσαναβᾶσα, ἐκ δ' ἄγαγε προφόως δέ. καὶ ἠελίου ἴδεν αὐγὰς ἀνέρι εἰσάμενος ἠμὲν δέμας ἠδὲ καὶ αὐδήν, πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα καλὰ ἐοικὼς καὶ δέμας· αὐτάρ οἱ νοῦς ἔμπεδος, ὡς τὸ πάρος περ. αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθών. τὸν μὲν ἀρίζηλον θῆκεν θεός, ὥσπερ ἔφηνε, παῖδ' ἑόν· ἡ δ' ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ. μήτηρ δ', ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα, ἰάνθη ὡς εἴ τε περὶ σταχύεσσιν ἐέρση. παῖδα δὲ ὣς ἀτίταλλε, δίδου δ' ὅγ' ἀθύρματα θυμῷ.

## 6 Περὶ τῶν μάγων.

Δῶρα δὲ οἰσέμεναι πρόεσαν κήρυκα ἕκαστος· δύσετό τ' ἠέλιος καί τε κλυτὰ δῶρα παρῆεν. δεξάμενοι δ' ἄρα παῖδες ἀμύμονος, ἁγνοτόκοιο δῶρα, τά οἱ φέρον ἀστέρα δερκόμεν' ἀντολίηθεν, μητρὶ παρ' αἰδοίῃ ἔθεσαν περικαλλέα δῶρα, χρύσεον, ὄφρ' ἐμέθεν μεμνημένος ἤματα πάντα.

## 7 Περὶ Ἡρώδου νηπίου.

Ἀλλ' ὅτε δή ῥ' ἐνιαυτὸς ἔην, περὶ δ' ἔτραπον ὧραι, ὅσσα δ' ἄρ' ἄγγελος ὦκα κατὰ πτόλιν ᾤχετο πάντῃ, δή ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσε νηπιάχοις, τοῖς οὔτι μέλει πολεμήια ἔργα, ὅς ῥ' ἔθελε κτεῖναι καὶ ἀπορραῖσαι φίλον ἦτορ. πολλὰ δ' ἀτάσθαλ' ἔρεξε βίῃ καὶ κάρτεϊ χειρῶν, πάντων μὲν κρατέειν ἐθέλων, πάντεσσι δ' ἀνάσσειν, Σιδονίων βασιλεύς, ὃν ἑὸς δόμος ἀμφεκάλυψεν, νήπιος· ἦ πολέες γὰρ ἐπ' αὐτῷ θυμὸν ἀπηῦρον. ἄρρητον δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκε τὰ φρονέων κατὰ θυμόν, ἅ ῥ' οὐ τελέεσθαι ἔμελλεν. τὸν δὲ τότ' ἐν μεγάροισι πατὴρ καὶ πότνια μήτηρ χερσὶ κατακρύψασα δόμων ἐξῆγε θύραζε, ὁρμαίνουσ', εἴ οἱ θάνατον φύγοι υἱὸς ἀμύμων· δείδιε γάρ, μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ δεινὸς ἀνήρ· τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο.

## 8 Περὶ τῆς εἰς Αἴγυπτον φυγῆς.

Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή· Αἴγυπτον δ' ἰέναι δολιχὴν ὁδὸν ἀργαλέην τε· «ἀλλ' ἴομεν, μὴ δηθὰ διατρίβωμεν ὁδοῖο, πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.» ἔνθ' ἔπος ἠδὲ καὶ ἔργον ὁμοῦ πέλεν ἐσσυμένοισι. πεμπταῖοι δ' Αἴγυπτον ἐυρείτην ἀφίκοντο δειδιότες· κρατερὸς γὰρ ἔχει τρόμος ἀνδρὸς ὁμοκλῇ.

## 9 Περὶ τῆς ἐξ Αἰγύπτου ἐπανόδου.

Ἀλλ' ὅτε δὴ κἀκεῖνος ἔβη δόμον Ἄιδος εἴσω, ὅς ῥ' ἔθελεν κτεῖναι καὶ ἀπορραῖσαι φίλον ἦτορ, αὖτις ἀπ' Αἰγύπτοιο, διιπετέος ποταμοῖο, ἔπλεον–ἐστόρεσεν δὲ θεὸς μεγακήτεα πόντον– οἶκον ἐς ὑψόροφον καὶ ἑὴν ἐς πατρίδα γαῖαν Φοινίκην, ὅθι τοῦγε δόμοι καὶ κτήματ' ἔασιν. ἷξον δ' ἐς πεδίον πυρηφόρον· ἔνθα δ' ἔπειτα οἰκία καὶ χοροί εἰσι καὶ ἀντολαὶ ἠελίοιο. αὐτὰρ ὃ θυμὸν ἔχων ἀτάσθαλον, ὡς τὸ πάρος


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

περ, εὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης, κάλλεϊ καὶ χάρισι στίλβων· θηεῖτο δὲ κούρη παῖδα φίλον γεγαῶτα νέον περ ἐόντ' ἐνὶ οἴκῳ, ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει· καὶ γὰρ θαῦμ' ἐτέτυκτο πελώριον· οὐ γὰρ ἐῴκει ἀνδρός τε θνητοῦ πάις ἔμμεναι, ἀλλὰ θεοῖο.

## 10 Περὶ Ἰωάννου τοῦ βαπτιστοῦ.

Ἀλλ' ὅτε δή ῥ' ἔτος ἦλθε περιπλομένων ἐνιαυτῶν ὄψιμον, ὀψιτέλεστον, ὅου κλέος οὔποτ' ὀλεῖται, πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων οὐρανόθεν καταβάς· ἕξει δέ μιν ἤματα πάντα ἀμφότερον, κῦδός τε καὶ ἀγλαΐη καὶ ὄνειαρ, ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντα. καὶ μέν οἱ κῆρυξ, ὀλίγον προγενέστερος αὐτοῦ, ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων, ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα, ὅς οἱ ὁμηλικίην μὲν ἔην· κεχάριστο δὲ θυμῷ κεδνὸς ἐών· πρὸ γὰρ ἧκε πατὴρ ἄλλοι τε γέροντες κηρύσσειν ἀγορὴν δὲ καρηκομόωντας Ἀχαιούς. κηρύσσων βοάασκε, φίλα φρονέων ἐνὶ θυμῷ, ἄνδρ' ἐπελεύσεσθαι μεγάλην ἐπιειμένον ἀλκήν, ἥτις ἀλεξίκακος πᾶσιν Δαναοῖσι πέληται· οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι. «πατρὸς δ' ἐξ ἀγαθοῦ γένος εὔχεται ἔμμεναι υἱός, ξεινίου, ὅστε μάλιστα νεμεσσᾶται κακὰ ἔργα. τοῖς ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε καὶ πεδία λωτεῦντα καὶ ἀγρῶν πίονα ἔργα οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα· τῷ νῦν μή τις πάμπαν ἀνὴρ ἀθεμίστιος εἴη. αὐτοὶ δ' ὀτρύνεσθε ἅμα τ' ἐμοὶ πάντες ἕπεσθε, μήτι μεταστρέψωσι νεμεσσάμενοι κακὰ ἔργα ἀθάνατοι, οἱ δ' αὖτ' ἀνεμώλιοι, ὡς τὸ πάρος περ, οὕστινας ὑμεῖς ἴστε μάλιστ' ὀχέοντας ὀιζύν, χρυσῷ τ' ἠλέκτρῳ τε κεκασμένοι ἠδ' ἐλέφαντι, οὓς Ἥφαιστος ἔτευξεν ἰδυίῃσι πραπίδεσσιν. ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼν εἴπω, πειθώμεθα πάντες.» ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου. βῆ ῥ' ἴμεν εἰς ἀγορήν, ἅμα δ' ἕσπετο πουλὺς ὅμιλος, πάντας δ' οὐκ ἂν ἐγὼ μυθήσομαι οὐδ' ὀνομήνω. καρπαλίμως δ' ἔμπληντο βροτῶν ἀγοραί τε καὶ ἕδραι. οἱ δ' ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο, στὰς ἐν μέσσοισι προσεφώνεεν ἠπύτα κῆρυξ· «κέκλυτε, μυρία φῦλα περικτιόνων ἀνθρώπων. αἰδοῖος, νεμεσητός, ὅ με προέηκε πυθέσθαι· τὸν μὲν ἐγὼ δείδοικα καὶ αἰδέομαι περὶ κῆρι· ψεῦδος δ' οὐκ ἐρέει· μάλα γὰρ πεπνυμένος ἐστίν. ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον· εἰ μὲν γάρ τίς μ' ἄλλος ἐπιχθονίων ἐκέλευε, ψεῦδός κεν φαῖμεν καὶ νοσφιζοίμεθα μᾶλλον· νῦν δ'–αὐτὸς γὰρ ἄκουσα θεοῦ καὶ ἐσέδρακον ἄντην– καί μοι ἕκαστ' ἐπέτελλεν, ἔικτο δὲ θέσκελον αὐτῷ, ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει. ὅς μοι ἔφη τάδε πάντα τελευτήσεσθαι ὀπίσσω· εὖ γὰρ ἐγὼ τόδε οἶδα κατὰ φρένα καὶ κατὰ θυμόν, τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο ἐνθάδ' ἐλεύσεσθαι μεγάλην ἐπιειμένον ἀλκήν, ὅς μευ φέρτερός ἐστι νοῆσαί τε κρῖναί τε. γνοίη δ', οἵτινές εἰσιν ἐναίσιμοι ἠδ' ἀθέμιστοι ἠὲ φιλόξεινοι, καί σφιν νόος ἐστὶ θεουδής. οἱ δέ οἱ αὐτίκ' ἰόντι κακὰ φράσσονται ὀπίσσω νήπιοι ἀγροιῶται, ἐφημέρια φρονέοντες, τῶν ἀνδρῶν φίλοι υἷες, οἳ ἐνθάδε γ' εἰσὶν ἄριστοι.» ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ. καί μιν σφοῖσι δόμοισιν ἔυ τρέφον ἠδ' ἀτίταλλον, χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντο ἕκαστος. οἱ δ' ἀπελυμαίνοντο καὶ εἰς ἅλα λύματ' ἔβαλλον, ὅσσοι ἄρ' ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν.

## 11 Περὶ τοῦ θείου βαπτίσματος.

Αὐτὰρ ἐπεί ῥ' ἥβης ἐρικυδέος ἵκετο μέτρον, βῆ ῥ' ἰέναι, κούρῳ αἰσυητῆρι ἐοικὼς παναπάλῳ, οἷοί τε ἀνάκτων παῖδες ἔασιν, πάντων ἀνθρώπων ῥῦσθαι γενεήν


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ. Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab. Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

τε τόκον τε. ὅσσα δ' ἄρ' ἄγγελος ὦκα κατὰ πτόλιν ᾤχετο πάντῃ· πλῆντο δ' ἄρ' αἴθουσαί τε καὶ ἕρκεα καὶ δόμοι ἀνδρῶν ἀγρομένων· πολλοὶ γὰρ ἐθηήσαντο ἰδόντες ἀλλήλους τ' εἴροντο, τίς εἴη καὶ πόθεν ἔλθοι· καὶ γὰρ θαῦμ' ἐτέτυκτο πελώριον, οὐδὲ ἐῴκει ἀνδρός γε θνητοῦ παῖς ἔμμεναι, ἀλλὰ θεοῖο, ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει. τοῦ μὲν ἄρ' υἱὸς ἐπῆλθε, θεοκλύμενος δ' ὄνομ' ἦεν· εἵλετο δὲ σκῆπτρον πατρώιον, ἄφθιτον αἰεί. τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κῆρυξ, κύσσε δέ οἱ κεφαλὴν καὶ ἄμφω φάεα καλά, ἤυσεν δὲ διαπρύσιον, μερόπεσσι γεγωνώς· «ἐγγὺς ἀνήρ–οὐ δηθὰ ματεύσομεν–, αἴ κ' ἐθέλητε ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν· οὐδὲ γὰρ οὐδέ τίς οἱ δύναται μένος ἰσοφαρίζειν. ἀρνειῷ μιν ἔγωγε ἐίσκω πηγεσιμάλλῳ· ἀρνειὸς γὰρ ἔην, μήλων ὄχ' ἄριστος ἁπάντων. αὐτὸς δ', αἴ κ' ἐθέλῃσ', ἰήσεται, οὐδέ τις ἄλλος.» ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου. κύσσε δέ μιν περιφὺς ἐπιάλμενος ἠδὲ προσηύδα· «ὦ φίλ', ἐπεὶ νόστησας ἐελδομένοισι μάλ' ἡμῖν, πολλὰ μάλ' εὐχομένοισι καὶ ἐλπομένοισιν ἰδέσθαι, οὖλέ τε καὶ μέγα χαῖρε· θεὸς δέ τοι ὄλβια δοίη πάντα μάλ', ὅσσ' ἐθέλεις καί τοι φίλον ἔπλετο θυμῷ.» οἱ δ' ἐπεὶ ἀλλήλους εἶδον φράσσαντό τ' ἐσάντα, δεξιῇ ἠσπάζοντο ἔπεσσί τε μειλιχίοισι, χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντο ἕκαστος. τόφρα δέ οἱ κομιδή γε θεῷ ὣς ἔμπεδος ἦεν. ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐυρρεῖος ποταμοῖο, ἧχι Κύδωνες ἔναιον Ἰορδάνου ἀμφὶ ῥέεθρα, ὃς πολὺ κάλλιστος ποταμῶν ἐπὶ γαῖαν ἵησιν· ἔγνω δὲ προρέοντα, καὶ εὔξατο ὃν κατὰ θυμὸν καί μιν ἄπο προφέρων λοῦσεν ποταμοῖο ῥοῇσιν Φειᾶς πὰρ τείχεσσιν, Ἰορδάνου ἀμφὶ ῥέεθρα, χρῖσεν δ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσεν, ἐς ποταμόν, τῇ δή οἱ ἐείσατο χῶρος ἄριστος· αἴγλη παμφανόωσα δι' αἰθέρος οὐρανὸν ἷκεν. καὶ τὸν μὲν κῆρυξ, ὀλίγον προγενέστερος αὐτοῦ, πολλὸν ἄπο προφέρων λοῦσεν ποταμοῖο ῥοῇσιν. αὐτὰρ ἐπεὶ λοῦσέν τε καὶ ἔχρισεν λίπ' ἐλαίῳ, ἀμφὶ δὲ εἵματα ἕσσαθ', ἅ οἱ πόρε παρθένος ἀδμής, ἀμβροσίῳ δ' ἑανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν, εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα. ὕψι δ' ὑπὲρ νεφέων ἴδετο τρήρωνα πέλειαν μεσσηγὺς γαίης τε καὶ οὐρανοῦ ἀστερόεντος, ἥ οἱ ἐναργὴς ἦλθε θεοῦ ἐς δαῖτα θάλειαν. ἀμφὶ δὲ εἵματα ἕσσαθ', ἅ οἱ πόρε παρθένος ἀδμής. αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθών· ἄψορρον δ' ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα. ἀλλ' ὅτε δὴ ἄρ' ἔμελλε πόλιν δύσεσθαι ἐραννήν, λαοὶ ἕπονθ', ὡς εἴ τε μετὰ κτίλον ἕσπετο μῆλα, ἀσπάσιοι προτὶ ἄστυ. πόλις δ' ἔμπλητο ἀλέντων, τετρήχει δ' ἀγορή, ὑπὸ δὲ στοναχίζετο γαῖα· ἄλλη δ' ἄλλων γλῶσσα πολυσπερέων ἀνθρώπων. καί τε πόλεις ἐσάωσε, μάλιστα δέ κ' αὐτὸς ἀνέγνω τιμήν, ἥτ' ἄλλων περ ἐπιγνάμπτει φρένας ἐσθλῶν. οἷος δὴ πραπίδεσσιν ἀέθλια κάλ' ἀνελέσθαι, ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσι, πολλά τε καὶ χαρίεντα, κακὸν δ' ἤμυνε καὶ αὔτως.

## 12 Περὶ τοῦ ἐξελθεῖν τὸν Ἰησοῦν εἰς τὴν ἔρημον.

Αὐτὰρ ὃ θυμὸν ἔχων ὃν καρτερόν, ὡς τὸ πάρος περ, πατρὶ φίλῳ ἐπίηρα φέρων, ὃς πᾶσιν ἀνάσσει, αὐτὸς μὲν θνητός τε, γυναῖκά τε θήσατο μαζόν, πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα καὶ νόον ἔγνω. ἔτλη δ' οἶ' οὔπω τις ἐπιχθόνιος βροτὸς ἄλλος, οὔτέ τινα ῥέξας ἐξαίσιον οὔτε τι εἰπών. βουλάς τ' ἐξάρχων ἀγαθὰς καὶ μῆτιν ὑφαίνων ἤιε· πολλὰ δέ οἱ κραδίη πόρφυρε κιόντι. οἱ δ' ἐπεὶ ἐκ πόλιος κατέβαν, τάχα δ' ἀγρὸν ἵκοντο, ἐν τῷ σιτέσκοντο καὶ ἴζανον ἠδὲ ἴαυον. ἐνδυκέως κομέεσκε δ' ἐπ' ἀγροῦ, νόσφι πόληος. οὐ φυτόν, οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη, οὐκ ὄγχν', οὐ πρασίη θαλέθεσκον ἑὸν κατὰ χῶρον. ἔνθα μὲν οὔτε βοῶν οὔτ' ἀνδρῶν φαίνετο ἔργα, ἆσσον ἴεν, πολυκάρπου ἀλωῆς πειρητίζων, ἄρκτους τ' ἀγροτέρους τε σύας χαροπούς τε λέοντας.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

## 13 Περὶ τῆς κλήσεως τῶν μαθητῶν.

Ἀλλ' ὅτε δή ῥ' ἥβης ἐρικυδέος ἵκετο μέτρον, καὶ τότε δὴ κρίνας ἑτάρων δυοκαίδεκ' ἀρίστους· οἱ γάρ οἱ εἴσαντο διακριδὸν εἶναι ἄριστοι, οἵ κέν μιν περὶ κῆρι θεὸν ὣς τιμήσαντο· οὗτοι γὰρ κλητοί γε βροτῶν ἐπ' ἀπείρονα γαῖαν τῶν ἄλλων μετά γ' αὐτόν· ὁ δ' ἔπρεπε καὶ διὰ πάντων. τοὺς ὅγε ἀθροίσας πυκινὴν ἠρτύνετο μῆτιν· «κέκλυτέ μευ, μνηστῆρες ἀγακλειτῆς βασιλείης, ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσιν ἀνώγει· οὐ γὰρ ἀπειρήτως μαντεύσομαι, ἀλλ' εὖ εἰδὼς τέκμωρ· οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλόν. πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι, ξεινίου, ὅστε μάλιστα νεμεσσᾶται κακὰ ἔργα· τοῦ γὰρ ἐγὼ πάις εἰμί· πατὴρ δ' ἐμὸς εὔχεται εἶναι. τοὔνεκά με προέηκε, διδασκέμεναι τάδε πάντα. σήματα δὴ καὶ νῶι κεκρυμμένα ἴδμεν ἁπάντων· ἴδμεν δ' ὅσσα γένηται ἐπὶ χθονὶ πουλυβοτείρῃ, μοῖράν τ' ἀμμορίην τε καταθνητῶν ἀνθρώπων, ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες. ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον, ἡμῖν, οὕνεκα πομποὶ ἀπήμονές εἰμεν ἁπάντων, τρεῖς, ἀμφιστρεφέες, ἑνὸς αὐχένος ἐκπεφυῶτες, ἥλικες, ἰσοφόροι, τῶν τε σθένος οὐκ ἀλαπαδνόν, τῶν περ καὶ μείζων ἀρετὴ τιμή τε βίη τε πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει οὔρεά τε σκιόεντα θάλασσά τε ἠχήεσσα.» ὣς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου. βῆ δ' ἴμεναι προτέρως, ἑτέρηφι δὲ λάζετο Πέτρον, ὅς οἱ κεδνότατος ἑτάρων ἦν. ἠδὲ καὶ ἄλλους τρεῖς ἄγεν, οἷσι μάλιστα πεποίθεε πᾶσαν ἐπ' ἰθύν, ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα. οἱ δ' ἔλαχον, τοὺς ἂν καὶ ἤθελεν αὐτὸς ἑλέσθαι, εἰνάλιοι, τοῖσίν τε θαλάσσια ἔργα μέμηλεν.

14 Περὶ τοῦ ἐν Κανὰ τῆς Γαλιλαίας γάμου.
15 Περὶ τῶν μαθητῶν καὶ τῶν διαφόρως θεραπευθέντων.
16 Περὶ τῆς θυγατρὸς τοῦ βασιλικοῦ.
17 Περὶ τῶν ὄχλων καὶ τοῦ παιδὸς τοῦ ἑκατοντάρχου.
18 Περὶ τοῦ ἐν Καπερναοὺμ παραλύτου.
19 Περὶ τοῦ ἐν τῇ Προβατικῇ παραλύτου.
20 Περὶ τοῦ ἐκ γενετῆς τυφλοῦ.
21 Περὶ τῶν ἐνοδίων τυφλῶν.
22 Περὶ τοῦ λεπροῦ.
23 Περὶ τῆς πενθερᾶς Πέτρου.
24 Περὶ τοῦ λεγεῶνος καὶ τῶν χοίρων.
25 Περὶ τοῦ χωλοῦ καὶ ξηρὰν ἔχοντος χεῖρα.
26 Περὶ τοῦ κωφοῦ.
27 Περὶ τῆς Χαναναίας.
28 Περὶ τοῦ υἱοῦ τῆς χήρας.
29 Περὶ τῆς Σαμαρείτιδος.
30 Περὶ τῆς αἱμορρούσης.
31 Περὶ τοῦ σεληνιαζομένου.
32 Περὶ τῆς μεταμορφώσεως.
33 Περὶ τοῦ σάλου τῆς θαλάσσης.
34 Περὶ τῶν πέντε ἄρτων.
35 Περὶ τῆς ἐν θαλάσσῃ πεζοπορίας.
36 Περὶ τῶν ἑπτὰ ἄρτων.


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.

37 Περὶ τοῦ Λαζάρου.
38 Περὶ τῶν βαΐων.
39 Περὶ τοῦ μύρου.
40 Περὶ τοῦ μυστηρίου.
41 Περὶ τοῦ νιπτῆρος.
42 Περὶ τῆς προδοσίας.
43 Περὶ τῆς ἀρνήσεως Πέτρου.
44 Περὶ τῆς σταυρώσεως τοῦ κυρίου.
45 Περὶ τῆς ταφῆς τοῦ κυρίου.
46 Περὶ τοῦ ᾅδου ἀθλίου.
47 Περὶ τῆς ἀναστάσεως.
48 Περὶ τῆς Γαλιλαίας.
49 Περὶ Θωμᾶ.
50 Περὶ τῆς ἀναλήψεως.

Ἔστη δὲ σκοπιὴν ἐς παιπαλόεσσαν ἀνελθών, οἱ δ' ἐλελίχθησαν καὶ ἐναντίοι ἔσταν ἅπαντες, οἵ οἱ κεδνότατοι καὶ φίλτατοι ἦσαν ἑταίρων, μήτηρ θ', ἥ μιν ἔτικτε καὶ ἔτρεφε τυτθὸν ἐόντα. αὐτὸς δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ φαίνεθ' ὁμοῦ νεφέεσσιν ἰὼν εἰς οὐρανὸν εὐρύν. αὐτόματοι δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι, πάντοθεν ἐκ κευθμῶν· οὐδ' ἠγνοίησεν ἄνακτα. ἂψ δ' αὖτις κατ' ἄρ' ἕζετ' ἐπὶ θρόνου, ἔνθεν ἀνέστη, τοῖος ἐών, οἷόν μιν ἐγὼ τὰ πρῶτα νόησα, πατρὸς ἑοῖο θεοῖο δέμας καὶ εἶδος ὅμοιον· καί ῥα πάροιθ' αὐτοῖο καθέζετο κύδεϊ γαίων, δεξιὸς ἀΐξας· ἐγέλασσε δὲ πᾶσα περὶ χθών. τῷ δ' ἐπιτέτραπται μέγας οὐρανὸς Οὔλυμπός τε σκῆπτρόν τ' ἠδὲ θέμιστας, ἵνα σφίσι βουλεύησθα, ἠέλιός θ', ὃς πάντ' ἐφορᾷ καὶ πάνθ' ὑπακούει, ἄρκτος θ', ἣν καὶ ἅμαξαν ἐπίκλησιν καλέουσι, καὶ ποταμοὶ καὶ γαῖα καὶ οἱ ὑπένερθε καμόντες. κρίνει νείκεα πολλὰ δικαζομένων αἰζηῶν, ἤ ῥ' οἵ γ' ὑβρισταί τε καὶ ἄγριοι οὐδὲ δίκαιοι οἷά τε λῃϊστῆρες ὑπεὶρ ἅλα, τοῖα λέγουσιν, ἠὲ φιλόξεινοι καί σφιν νόος ἐστὶ θεουδής, ὃς μὲν ἀμύμων αὐτὸς ἔῃ καὶ ἀμύμονα εἰδῇ. κτήματά θ', ὅσσα τοι ἔστι, τά τ' ἔνδοθι καὶ τὰ θύρηφι, συλλέξας λαοῖσι δότω καταδημοβορῆσαι ξείνοις τε πτωχοῖς τε· δόσις τ' ὀλίγη τε φίλη τε. τὸν μὲν ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης, πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι· καί μοι κῆπον ἔχει πολυδένδρεον, ὄφρα τάχιστα μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονιάων, μάρτυροι, οὓς μὴ κῆρες ἔβαν θανάτοιο φέρουσαι. ὃς δέ κ' ἀνήνηται καί τε στερεῶς ἀποείπῃ, τὸν μὲν ἑλὼν ῥίψει ἐς Τάρταρον ἠερόεντα Κωκυτόν θ', ὃς δὴ Στυγὸς ὕδατός ἐστιν ἀπορρώξ. αὐτὰρ νῦν τοι ἐγὼ μαντεύσομαι οὐδ' ἐπικεύσω, ὡς νεῖτ' Ἰησοῦς· εὐαγγέλιον δέ τοι ἔστω, ὄφρα τις ὧδ' εἴπῃσι καὶ ὀψιγόνων ἀνθρώπων, ὡς ἄρα σοι πρόφρων θεὸς ὤπασε θέσπιν ἀοιδὴν ὄψιμον ὀψιτέλεστον, ὅου κλέος οὔποτ' ὀλεῖται, ὃς Φρυγίην ναίεσκε ῥοῇς ἔπι Σαγγαρίοιο, κυδιόων δ' ἄρα πᾶσι μετέπρεπεν ἡρώεσσιν, ὅσσοι ἄρ' ἡγεμόνες Δαναῶν καὶ κοίρανοι ἦσαν.



Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.